ἐν δὲ τῷ μεγάλῳ Ἐτυμολογικῷ οὕτω γράφεται. καταπροίξεσθαι ἀπὸ τῆς προικός, ἣν διαιροῦντες οἱ Ἴωνες προῖκα λέγουσιν. ὥσπερ οὖν ἡ προὶξ δωρεὰν δίδοται, οὕτω, φασίν, οὐ δωρεὰν καταγνώσεταί τις, ἀλλ' ἀποδώσει μισθόν, ὧν ἔπραξεν. τινὲς μὲν τοι τούτου τοῦ ῥήματος τὸ θέμα νομίζουσιν εἶναι καταπροΐκομαι, ὅ ἐστι προχωρῶ, προβαίνω, πορρωτέρω χωρῶ. ἀχρηστότερον δὲ εἰ μὴ ἐν τῷ μέλλοντι, καταπροίξομαι. καὶ τούτου ἡ χρῆσις ὡς ἐπὶ τὸ πλεῖστον ἐν ταῖς ἀπειλαῖς, ὡς ἐνταῦθα. διὸ οὐ καταπροίξει νῦν ἀντὶ τοῦ οὐκ ἀτιμωρητὶ ἐντεῦθεν ἀπαλλάξῃ, οὐδ' ἀζήμιος ἀπελεύσῃ ταῦτα λέγουσα. Ἐκποκιῶ.] τὰς τρίχας ἐκσπάσω. ποκάδες, αἱ διεκτενισμέναι τρίχες. ἐπὶ γυναικείων τριχῶν ὡς τὸ πολύ. παρετυμολογεῖται δὲ τὸν πόκον. Λυκόφρων δὲ ἁπλῶς τὰς τρίχας. ἐμπλοκὴ δέ τις φαίνεται, καὶ πλοκα- A μίδες. σπανίως ἐπὶ τῶν ἀνδρῶν λέγεται. Σ. τὸ δὲ ἐκποκιῶ, Ἀττικόν, ἀντὶ τοῦ κοινοῦ ἐκποκίσω, παρὰ τὸ ἐκποκίζω, ὡς τὸ νομιῶ παρὰ τὸ νομίζω. Ἄττα] ἄττα Ἀττικῶς, ἅσσα κοινῶς, τρία σημαίνει. τὸ ἅτινα, καὶ τὸ ὅσα, καὶ τὸ τινά. καὶ ὅτε μὲν ἰσοδυναμεῖ τῷ ἅτινα, καὶ τῷ ὅσα, δασύνεται. οἷον φράζε ἅσσα ἐθέλησθα. καὶ ἅσσ' ἂν ἐμοί περ αὐτῇ. ὅτε δὲ κεῖται ἀντὶ τοῦ τινά, ψιλοῦται. ἰστέον δὲ ὅτι τὸ ἅσσα, ὃ δηλοῖ τὸ ἅτινα, ἐκ τοῦ ἃ γίνεται, ὅπερ ἐστὶν ἄρθρον οὐδέτερον ὑποτακτικὸν πληθυντικόν, καὶ ἐκ τοῦ σά, ὃ Μεγαρικῶς καὶ Δωρικῶς τινὰ δηλοῖ. διὸ καὶ δασύνεται ὁμοίως τῷ ἅτινα. B φασὶ δὲ οἱ παλαιοὶ περὶ τοῦ ἄττα, ὅτι καὶ τὸ ποτὲ σημαίνει, ἢ τὸ ἰσοδυναμοῦν τούτῳ. Ἀριστοφάνης, πόθου χελιδὼν πηνίκ' ἄττα φαίνεται. ἔστι καὶ προσφώνημα νεωτέρων πρὸς πρεσβυτέρους τῆς Θετταλῶν διαλέκτου. Εὐστάθιος.

## ΚΛΕΙΣΘΕΝΗΣ, ΧΟΡΟΣ, ΓΥΝΗ, Ἄλλη Γυνή.

## CLEISTHENES, CHORVS, MVLIER, C ALTERA MVLIER.

Bisetus. Ὁ θηλυδριώδης, καὶ γυναιμανὴς Κλεισθένης πρὸς τὴν τῶν Θεσμοφοριαζουσῶν ἐκκλησίαν προστρέχει δηλώσων αὐταῖς ἅπερ ἤκουσεν ἔκ τινων. περὶ τῆς ἀπάτης ἣ τὰς γυναῖκας Εὐριπίδης ἀπατᾷν ἐγνώκει. αὐταῖς οὖν παραινεῖ τὰς Εὐριπίδου τέχνας ἐπιμελῶς φυλάξασθαι. αἱ δὲ ῥᾳδίως πείθονται τὸν Μνησίλοχον ὑποδηλοῦσθαι, περὶ οὗ ὁ τοιοῦτος λόγος διεσπάρη, καὶ ὃν ὁ Κλεισθένης ὑποσημαίνειν ἤθελεν. ἀνθ' ὧν αὐταῖς ἐπιμελέστερον σκοπεῖν, καὶ τοὺς αὐτοῦ λόγους ἀκριβέστερον ἐξετάζειν ἄρχονται. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πά. ὧν ὁ τελευταῖος,

Ἐγὼ δὲ ταῦτα τοῖς πρυτάνεσιν ἀγγελῶ.

Κλ. Φίλαι γυναῖκες, ξυγγενεῖς τοὐμοῦ τρόπου.
Ὅτι μὲν φίλος εἴμ' ὑμῖν, ἐπίδηλος ταῖς γνάθοις.
Γυναικομανῶ γάρ, προξενῶ θ' ὑμῶν ἀεί.
Καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα
Ὀλίγῳ τι πρότερον, κατ' ἀγορὰν λαλούμενον
Ἥκω φράσων τοῦτ' ἀγγελῶν θ' ὑμῖν ἵνα
Σκοπῆτε, καὶ τηρῆτε, καὶ μὴ προσπέσῃ
Ἡμῖν ἀφράκτοις πρᾶγμα δεινὸν καὶ μέγα.
Χο. Τί δ' ἐστὶν ὦ παῖ; παῖδα γάρ σ' εἰκὸς καλεῖν
Ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.

D *CL. Charæ mulieres cognatæ meorum morum,*
*Quòd quidem amicus sum vobis, manifestus sum malis.*
*Ob imitationem enim mulierum insanio, interpresque vestrûm sum semper.*
*Et nunc cùm audierim rem de vobis magnam,*
*Paulo quid prius in foro prædicatam,*
*Venio dicturus hoc, nunciaturúsque vobis, ut*
E *Videatis & obseruetis, & ne accidat*
*Nobis imperatis & immunitis res grauis & magna.*
*CH. Quid verò est ô puer? puerum enim te conueniens est appellare,*
*Quousque ita genas depiles habueris.*

Bourdinus. Φίλαι γυναῖκες.] ὁ Ἀριστοφ. ἐνταῦθα ἄρχεται τῆς καταμηνύσεως τῶν τεχνῶν καὶ μηχανημάτων τοῦ Μνησιλόχου, καὶ ὅπως ταῦτα ἐξαγγέλλεται καὶ ἐκφέρεται ὑπὸ τοῦ Κλεισθένους ὄντος. ἐνταῦθα καταφρονεῖ καὶ καταχλευάζει ὁ Ἀριστοφ. τοῦ Κλεισθένους ἐπὶ τῇ ἐκλύσει, μαλακίᾳ, ἀνανδρείᾳ τε αὐτοῦ, ὅτι μᾶλλον γυναιξὶν ἀνὴρ ὢν ὁμοιοῦται καὶ εἴκασται ἢ ἀνδράσιν, ὥσπερ καὶ πρότερον προείρηται. Συγγενεῖς τοὐμοῦ τρόπου.] ὁμοιότροποι τοῖς γνάθοις, μαλακαῖς δὴ οὔσαις καὶ ἐκλύτοις ὥσπερ καὶ αἱ τῶν γυναικῶν. Γυναικομανῶ.] ἐκμαίνομαι περὶ τὰς γυναῖκας, ὑπὸ τῆς ἀμέτρου φιλίας καὶ ἐπιθυμίας. Προξενῶ θ' ὑμῶν ἀεί.] προΐσταμαι, προστατῶ, προβάλλομαι, καὶ προαγωνίζομαι ὑμῶν. πρόξενος δὲ κυρίως ἐκαλεῖτο παρὰ παλαιοῖς ὁ τεταγμένος εἰς τὸ τοὺς ξένους ὑποδέχεσθαι ἐξ ἀλλοτρίων πόλεων ἱκομένους, καὶ οὕτω τῆς ξενίας ἐπιμελεῖσθαι, ὅθεν καὶ μεταφορικῶς πρόξενος καλεῖται φίλος, ὥσπερ ὁ ἐν τῇ αὐτοῦ ξενίᾳ προϊστάμενος. Λαλούμενον.] θρυλλούμενον. Ἀφράκτοις.] ἀπροβουλήτοις, καὶ μὴ προορῶσι ἀφυλάκτοις τε καὶ οὐ φραχθεῖσιν πρὸς τὴν ἄπειρξιν τοῦ μέλλοντος, καὶ συμβησομένου κακοῦ. ἀπὸ τοῦ φράττειν. Προσπέσῃ.] ἐπιπέσῃ, γνώμη δ' ἥδ' ἐστίν. ἵνα ὑμεῖς προΐδητε τὸ μέλλον κακόν, καὶ προφυλάττησθε. ἀφύλακτοι δὲ μὴ πάθητε ὑπερφυές τι καὶ φοβερὸν κακόν. Τὰς γνάθους ψιλάς] ἀποτετιλμένας, ἀτρίχους, ἀπεξυρημένας.

Bisetus. Προξενῶ θ' ὑμῶν.] Σ. τούτου τοῦ Ἀριστοφανείου στίχου μνημονεύων, τὸ ῥῆμα αἰτιατικῇ συντάσσει, οὕτω γράφων, προξενῶ θ' ὑμᾶς, ἀντὶ τοῦ προΐσταμαι. εἶτα πρὸς διαστολήν, προξενῶ φησίν, ἀντὶ τοῦ ἐπιτάττω, γενικῇ. Εὐστάθιος δὲ τὸν δὲ τῆς Ἰλ. γ. στίχον,

Τοὺς δ' ἐγὼ ἐξείνισσα, καὶ ἐν μεγάροισι φίλησα,

ἑρμηνεύων, ἐξείνισσε, φησί, καὶ ἐν μεγάροισι φίλησεν, ἤτοι ἐφιλοφρονήσατο, καὶ ἐξένισεν, ὅπερ οἱ ὕστερον προξενῆσαι

λέγου